λογίας καὶ ἐπαγγελίας ἀπόδειξιν, ὅτι κατὰ παιδίων
νηπίων κλαιόντων ἕτοιμον ὠνήσω μορμολύκιον. ὁ δὲ
γελάσας ἔφη, Αἴσωπε, εἴσελθε εἰς τὸ ἐνδότερον τρίκλινον,
καὶ ἄσπασαι τοὺς συνδούλους σου. εἰσελθὼν οὖν εὑρίσκει
παῖδας καλλίστους καὶ ἀμώμους, καὶ ἀσπάζεται αὐτοὺς,
λέγων χαίρετε καλοὶ σύνδουλοι. οἱ δὲ ὁμοφώνως εἶπον,
νὴ τὸν ἥλιον, σαπρὸν θέαμα βλέπομεν. τί γέγονε τῷ δε-
σπότῃ ἡμῶν, οὐδέποτε κακότερον ἠγόρασε σωμάτιον; πλὴν
πρὸς βασκανίαν τοῦ σωματεμπόρου αὐτὸν ὠνήσατο.
ὁ δὲ ἔμπορος πρὸς τοὺς παῖδας εἰσελθὼν, ἔφη, στε-
νάζατε τὴν ἑαυτῶν τύχην. κτήνη γὰρ οὔτε ἀγοράσαι οὔτε
μισθώσασθαι εὗρον. διέλεσθε οὖν τὰ ἐφόδια σκεύη. αὔ-
ριον γὰρ ἀπαίρομεν εἰς τὴν Ἀσίαν. οἱ οὖν παῖδες σὺν
δύο γινόμενοι, διεμερίζοντο τὰ σκεύη. ὁ δὲ Αἴσωπος
ὑποπεσὼν αὐτοὺς, ἐξελιπάρει καὶ ἔλεγε, καλοί μου

http://digital.slub-dresden.de/ppn346259193/17